7 Εἶπεν οὖν πάλιν ὁ Ἰησοῦς, Ἀμὴν ἀμὴν λέγω
ὑμῖν ὅτι ἐγώ εἰμι ἡ θύρα τῶν προβάτων.

8 πάντες ὅσοι ἦλθον [πρὸ ἐμοῦ] κλέπται εἰσὶν
καὶ λῃσταί· ἀλλ' οὐκ ἤκουσαν αὐτῶν τὰ πρό
βατα. 9 ἐγώ εἰμι ἡ θύρα· δι' ἐμοῦ ἐάν τις εἰσέλ
θῃ σωθήσεται καὶ εἰσελεύσεται καὶ ἐξελεύσετ
αι καὶ νομὴν εὑρήσει. 10 ὁ κλέπτης οὐκ ἔρχετα
ι εἰ μὴ ἵνα κλέψῃ καὶ θύσῃ καὶ ἀπολέσῃ· ἐγὼ
ἦλθον ἵνα ζωὴν ἔχωσιν καὶ περισσὸν ἔχωσιν.
11 Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός· ὁ ποιμὴν ὁ καλ
ὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβ
άτων· 12 ὁ μισθωτὸς καὶ οὐκ ὢν ποιμήν, οὗ ο
ὐκ ἔστιν τὰ πρόβατα ἴδια, θεωρεῖ τὸν λύκον
ἐρχόμενον καὶ ἀφίησιν τὰ πρόβατα καὶ φεύγ
ει καὶ ὁ λύκος ἁρπάζει αὐτὰ καὶ σκορπίζει 13 ὅ
τι μισθωτός ἐστιν καὶ οὐ μέλει αὐτῷ περὶ τῶ
ν προβάτων.

14 **Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός, καὶ γινώσκω
τὰ ἐμὰ καὶ γινώσκουσί με τὰ ἐμά,**